PA 3943
PA
3943
.A3

E
.90
Prod
nod
Aug

# BACCHYLIDES

CAMBRIDGE UNIVERSITY PRESS WAREHOUSE,
C. F. CLAY, MANAGER.
London: FETTER LANE, E.C.
Glasgow: 50, WELLINGTON STREET.

Leipzig: F. A. BROCKHAUS.
New York: THE MACMILLAN COMPANY.
Bombay and Calcutta: MACMILLAN AND CO., LTD.

[*All Rights reserved.*]

# BACCHYLIDES

THE TEXT EDITED BY

SIR RICHARD C. JEBB, Litt.D., O.M.

BOSTON COLLEGE LIBRARY
CHESTNUT HILL, MASS.

CAMBRIDGE:
at the University Press
1906

PA
3943
.A3

Cambridge:

PRINTED BY JOHN CLAY, M.A.

AT THE UNIVERSITY PRESS.

PA 3943
A3

208192

PRINTED IN GREAT BRITAIN

# NOTE.

THE Text of Bacchylides here printed is that prepared by the late Sir Richard Jebb for his annotated edition published in 1905 at the University Press.

CAMBRIDGE,

*March* 1906.

# CONTENTS.

*The numbers in brackets refer to Dr Kenyon's edition.*


| ODES OF VICTORY | | PAGE |
|---|---|---|
| I | For Argeius of Ceos, victor in the boys' boxing-match at the Isthmus. | 1 |
| II | For the same. | 3 |
| III | For Hieron of Syracuse, victor in the four-horse chariot-race at Olympia (468 B.C.). | 4 |
| IV | For Hieron, victor in the four-horse chariot-race at Delphi. | 8 |
| V | To Hieron, victor in the horse-race at Olympia (476 B.C.). | 9 |
| VI | For Lachon of Ceos, victor in the foot-race for boys at Olympia (452 B.C.). | 16 |
| VII | For the same. | 16 |
| VIII [IX] | For Automedes of Phlius, victor in the pentathlon at Nemea. | 18 |
| IX [X] | For an Athenian [Aglaos ?] winner of foot-races at the Isthmus. | 22 |
| X [XI] | For Alexidamus of Metapontion, winner of the boys' wrestling-match at Delphi. | 24 |
| XI [XII] | For Teisias of Aegina, winner in the wrestling-match at Nemea. | 29 |
| XII [XIII] | For Pytheas of Aegina, victor in the pancration at Nemea. | 29 |
| XIII [XIV] | For Cleoptolemus of Thessaly, victor in the chariot-race at the Petraia. | 36 |

DITHYRAMBS PAGE

XIV [XV] The sons of Antenor, or the Demand for the Restitution of Helen. . . . . . . 38

XV [XVI] Heracles. . . . . . . . . . 40

XVI [XVII] Theseus, or the Athenian Youths and Maidens. 41

XVII [XVIII] Theseus. . . . . . . . . . 46

XVIII [XIX] Io (for the Athenians). . . . . . . 48

XIX [XX] Idas (for the Lacedæmonians). . . . . 50

Fragments. . . . . . . . . . . . 51

Epigrams. . . . . . . . . . . . 56

# ΕΠΙΝΙΚΟΙ.

## I.

## <ΑΡΓΕΙΩΙ ΚΕΙΩΙ

## ΠΑΙΔΙ ΠΥΚΤΗΙ ΙΣΘΜΙΑ>

* * * * * *

ἐπ. ε΄. 3 — ⏑]αφθε[— ⏑ ⏓ — ⏑ ⏑ — —
4 . . σ· τριτάτᾳ με[⏑ — —
5 ἁμέρᾳ Μίνως ἀρ[ῇο]ς
6 ἤλυθεν αἰολοπρύμνοις
7 ναυσὶ πεντήκοντα σὺν Κρητῶν ὁμίλῳ·

στρ. ϛ΄. 1 Διὸς Εὐκλείου δὲ (Ϝ)έκα-
2 τι βαθύζωνον κόραν
3 Δεξιθέαν δάμασεν·
4 καί (Ϝ)οι λίπεν ἥμισυ λαῶν,
5 ἄνδρας ἀρηϊφίλους,
6 τοῖσιν πολύκρημνον χθόνα
7 νείμας ἀποπλέων ᾤχετ᾽ ἐς
8 Κνωσὸν ἱμερτὰν πόλιν

ἀντ. ϛ΄. 1 βασιλεὺς Εὐρωπιάδας·
2 δεκάτῳ δ᾽ Εὐξάντιον
3 μηνὶ τέ]κ᾽ εὐπλόκ[αμος

νύμφα φερ]εκυδέ[ϊ νάσῳ
– ⏑ ⏑ –]πρύτα[νιν
δ̣ν

ἐπ. ϛ'. * * * * * *

ἄλλα]ξαν θύγατρες

Col. 1 στρ. ζ'. πόλ[ιν – – –]ν βαθυδεί-
ελον· [ἐκ τᾶ]ς μὲν γένος
ἔπλε[το καρτε]ρόχειρ
Ἀργεῖος [⏑ – ⏑] λέοντος
θυμὸ[ν ἔχων], ὁπότε
χρεῖ[ός τι συμ]βολοῖ μάχας,
ποσσί[ν τ' ἐλα]φρό[ς, π]ατρίων
τ' οὐκ [ἀπόκλαρος κ]αλῶν,

ἀντ. ζ'. τόσα Παν[θείδᾳ κλυτό]το-
ξος Ἀπό[λλων ὤπασε]ν,
ἀμφί τ' ἰατορίᾳ
ξείνων τε φιλάνορι τιμᾷ·
εὖ δὲ λαχὼν Χαρίτων
πολλοῖς τε θαυμασθεὶς βροτῶν
αἰῶν' ἔλυσεν, πέντε παῖ-
δας μεγαινήτους λιπών.

ἐπ. ζ'. τῶν ἕνα (F)οι Κρονίδας
ὑψίζυγος Ἰσθμιόνικον
θῆκεν ἀντ' εὐεργεσιᾶν, λιπαρῶν τ' ἄλ-
λων στεφάνων ἐπίμοιρον.
φαμὶ καὶ φάσω μέγιστον
κῦδος ἔχειν ἀρετάν, πλοῦ-
τος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ,

στρ. η'. ἐθέλει δ' αὔξειν φρένας ἀν-

2 δρός· ὁ δ' εὖ ἔρδων θεοὺς
3 ἐλπίδι κυδροτέρᾳ
4 σαίνει κέαρ· εἰ δ' ὑγιείας
5 θνατὸς ἐὼν ἔλαχεν,
6 ζώειν τ' ἀπ' οἰκείων ἔχει,
7 πρώτοις ἐρίζει· παντί τοι
8 τέρψις ἀνθρώπων βίῳ

ἀντ. η'. 1 ἕπεται νόσφιν γε νόσων
2 πενίας τ' ἀμαχάνου.
3 ἶσον ὅ τ' ἀφνεὸς ἱ-
4 μείρει μεγάλων ὅ τε μείων
Col. 2 5 παυροτέρων· τὸ δὲ πάν-
6 των εὐμαρεῖν οὐδὲν γλυκὺ
7 θνατοῖσιν, ἀλλ' αἰεὶ τὰ φεύ-
8 γοντα δίζηνται κιχεῖν.

ἐπ. η'. 1 ὅντινα κουφόταται
2 θυμὸν δονέουσι μέριμναι,
3 ὅσσον ἂν ζώῃ λάχε τόνδε χρόνον τι-
4 μάν· ἀρετὰ δ' ἐπίμοχθος
5 μέν, τε]λευταθεῖσα δ' ὀρθῶς
6 ἀνδρὶ κ]αὶ εὖτε θάνῃ λεί-
7 πει πο]λυζήλωτον εὐκλείας ἄγαλμα.

# II.

## ΤΩΙ ΑΥΤΩΙ

στρ. Ἄ[ϊξεν ὦ] σεμνοδότειρα Φήμα
ἐς Κέον ἱεράν, χαριτώ-
νυμον φέρουσ' ἀγγελίαν,

ὅτι μ[άχ]ας θρασύχειρος Ἀρ-
γεῖος ἄρατο νίκαν·
ἀντ. καλῶν δ' ἀνέμνασεν, ὅσ' ἐν κλεεννῷ
αὐχένι (Ϝ)ισθμοῦ ζαθέαν
λιπόντες Εὐξαντίδα νᾶ-
σον ἐπεδείξαμεν ἑβδομή-
κοντα σὺν στεφάνοισιν.

ἐπ. καλεῖ δὲ Μοῦσ' αὐθιγενὴς
γλυκεῖαν αὐλῶν καναχάν,
γεραίρουσ' ἐπινικίοις
Πανθείδα φίλον υἱόν.

# III.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ

### ΙΠΠΟΙΣ ΟΛΥΜΠΙΑ.

στρ. α'. Ἀριστοκάρπου Σικελίας κρέουσαν
Δάματρα (Ϝ)ιοστέφανόν τε κούραν
ὕμνει, γλυκύδωρε Κλειοῖ, θοάς τ' Ὀ-
λυμπιοδρόμους Ἱέρωνος ἵππους.

ἀντ. α'. σεύον]το γὰρ σὺν ὑπερόχῳ τε Νίκᾳ
σὺν Ἀγ]λαΐᾳ τε παρ' εὐρυδίναν
Ἀλφεόν, τόθι Δ]εινομένεος ἔθηκαν
ὄλβιον [γόνον στεφάνω]ν κυρῆσαι.

ἐπ. α'. θρόησε δὲ λ[αὸς ἀπείρων·
ἆ τρισευδαίμ[ων ἀνήρ,
Col. 3 ὃς παρὰ Ζηνὸς λαχὼν
πλείσταρχον Ἑλλάνων γέρας

οἶδε πυργωθέντα πλοῦτον μὴ μελαμ-
φαρέϊ κρύπτειν σκότῳ.

στρ. β'. βρύει μὲν ἱερὰ βουθύτοις ἑορταῖς,
βρύουσι φιλοξενίας ἀγυιαί·
λάμπει δ' ὑπὸ μαρμαρυγαῖς ὁ χρυσὸς
ὑψιδαιδάλτων τριπόδων σταθέντων

ἀντ. β'. πάροιθε ναοῦ, τόθι μέγιστον ἄλσος
Φοίβου παρὰ Κασταλίας ῥεέθροις
Δελφοὶ διέπουσι. θεόν, θεόν τις
ἀγλαϊζέτω, ὁ γὰρ ἄριστος ὄλβων.

ἐπ. β'. ἐπεί ποτε καὶ δαμασίππου
Λυδίας ἀρχαγέταν,
εὖτε τὰν πεπ[ρωμέναν
Ζηνὸς τελε[ιοῦσαι κρί]σιν
Σάρδιες Περσᾶ[ν ἐπορθεῦντο στρ]ατῷ,
Κροῖσον ὁ χρυσά[ορος

στρ. γ'. φύλαξ' Ἀπόλλων. [ὁ δ' ἐς ἄ]ελπτον ἆμαρ
μολὼν πολυδ[άκρυον] οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοσύ]ναν· πυρὰν δὲ
χαλκοτειχέος π[ροπάροι]θεν αὐ[λᾶς

ἀντ. γ'. ναήσατ', ἔνθα σύ[ν ἀλόχῳ] τε κεδνᾷ
σὺν εὐπλοκάμοις τ' ἐπέβαιν' ἄλα[στον
θυγατράσι δυρομέναις· χέρας δ' ἐς
αἰπὺν αἰθέρα σφετέρας ἀείρας

ἐπ. γ'. γέγω]νεν· ὑπέρβιε δαῖμον,
ποῦ θεῶν ἐστιν χάρις;
ποῦ δὲ Λατοίδας ἄναξ;

πίτνουσ]ιν Ἀλυάττα δόμοι,
τίς δὲ νῦν δώρων ἀμοιβὰ] μυρίων
φαίνεται Πυθωνόθε]ν;

στρ. δ'. πέρθουσι Μῆδοι δοριάλωτο]ν ἄστυ,
φοινίσσεται αἵματι χρυσο]δίνας
Col. 4 Πακτωλός· ἀεικελίως γυναῖκες
ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·

ἀντ. δ'. τὰ πρόσθε δ' ἐχθρὰ φίλα· θανεῖν γλύκιστον.
τόσ' εἶπε, καὶ ἁβροβάταν κέλευσεν
ἅπτειν ξύλινον δόμον. ἔ[κλαγ]ον δὲ
παρθένοι, φίλας τ' ἀνὰ ματρὶ χεῖρας

ἐπ. δ'. ἔβαλλον· ὁ γὰρ προφανὴς θνα-
τοῖσιν ἔχθιστος φόνων·
ἀλλ' ἐπεὶ δεινοῦ πυρὸς
λαμπρὸν διάϊ[σσεν μέ]νος,
Ζεὺς ἐπιστάσα[ς μελαγκευ]θὲς νέφος
σβέννυεν ξανθὰ[ν φλόγα.

στρ. ε'. ἄπιστον οὐδέν, ὅ τι θ[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴς Ἀπόλλων
φέρων ἐς Ὑπερβορέους γέροντα
σὺν τανισφύροις κατένασσε κούραις

ἀντ. ε'. δι' εὐσέβειαν, ὅτι μέγιστα θνατῶν
ἐς ἀγαθέαν <ἀν>έπεμψε Πυθώ.
ὅσοι <γε> μὲν Ἑλλάδ' ἔχουσιν, οὔτι[ς,
ὦ μεγαίνητε Ἱέρων, θελήσει

ἐπ. ε'. φάμ]εν σέο πλείονα χρυσὸν
Λοξί]ᾳ πέμψαι βροτῶν.
εὖ λέγ]ειν πάρεστιν, ὅσ-
τις μὴ φθόνῳ πιαίνεται,

θεοφι]λῆ φίλιππον ἄνδρ᾽ ἀρήϊον,
τεθμ]ίου σκᾶπτρον Διὸς
στρ. ϛʹ. ἰοπλό]κων τε μέρο[ς ἔχοντ]α Μουσᾶν·
ὡς δ᾽ ἐν] Μαλέᾳ ποτέ, [χεῖμα δαί]μων
ἐπ᾽ ἔθ]νος ἐφάμερον α[ἶψ᾽ ἵησι.
καίρι]α σκοπεῖς· βραχ[ὺς ἄμμιν αἰών·
ἀντ. ϛʹ. δολό]εσσα δ᾽ ἐλπὶς ὑπ[ὸ κέαρ δέδυκεν
ἐφαμ]ερίων· ὁ δ᾽ ἄναξ [᾽Απόλλων
ὁ βουκό]λος εἶπε Φέρη[τος υἷι·
Col. 5 θνατὸν εὖντα χρὴ διδύμους ἀέξειν
ἐπ. ϛʹ. γνώμας, ὅτι τ᾽ αὔριον ὄψεαι
μοῦνον ἁλίου φάος,
χὤτι πεντήκοντ᾽ ἔτεα
ζωὰν βαθύπλουτον τελεῖς.
ὅσια δρῶν εὔφραινε θυμόν· τοῦτο γὰρ
κερδέων ὑπέρτατον.
στρ. ζʹ. φρονέοντι συνετὰ γαρύω· βαθὺς μὲν
αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου
οὐ σάπεται· εὐφροσύνα δ᾽ ὁ χρυσός·
ἀνδρὶ δ᾽ οὐ θέμις, πολιὸν π[αρ]έντα
ἀντ. ζʹ. γῆρας, θάλειαν αὖτις ἀγκομίσσαι
ἥβαν. ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει
βροτῶν ἅμα σ[ώμα]τι φέγγος, ἀλλὰ
Μοῦσά νιν τρ[έφει]. ῾Ιέρων, σὺ δ᾽ ὄλβου
ἐπ. ζʹ. κάλλιστ᾽ ἐπεδ[είξ]αο θνατοῖς
ἄνθεα· πράξα[ντι] δ᾽ εὖ
οὐ φέρει κόσμον σιω-
πά· σὺν δ᾽ ἀλαθείᾳ καλῶν
καὶ μελιγλώσσου τις ὑμνήσει χάριν
Κηΐας ἀηδόνος.

# IV.

## ΤΩΙ ΑΥΤΩΙ

## <ΙΠΠΟΙΣ> ΠΥΘΙΑ.

στρ. α'. Ἔτι Συρακοσίαν φιλεῖ
πόλιν ὁ χρυσοκόμας Ἀπόλλων,
ἀστύθεμίν θ' Ἱέρωνα γεραίρει·
τρίτον γὰρ π[αρ' ὀμφα]λὸν ὑψιδείρου χθονὸς
Πυθιόνικ[ος ἀείδε]ται
ὠκυπόδ[ων ἀρετᾷ] σὺν ἵππων.
[παρὰ δ' εὔρροον Ἀλφεὸν]
δὶς Ἥρας (ϝ)οι εὐρυβί]ας ἀλέκτωρ
γέρας ἔνειμ' ἑκόν]τι νόῳ,
πρευμενὴς δ' ἐπάκουεν] ὕμνους

στρ. β'. κελαδέοντας, οἷς] ἰσόρ-
ροπον ἔχοντα Δίκ]ας τάλαν[τον
Col. 6 Δεινομένεός κ' ἐγερα[ίρο]μεν υἱόν.
πάρεστίν νιν ἀγχιάλοισ[ι Κρίσ]ας μυχοῖς
μοῦνον ἐπιχθονίων τάδε
μησάμενον στεφάνοις ἐρέπτειν
δύο τ' ὀλυμπιονίκας
ἀείδειν. τί φέρτερον ἢ θεοῖσιν
φίλον ἐόντα παντο[δα]πῶν
λαγχάνειν ἄπο μοῖρα[ν ἐσ]θλῶν;

# V.

## <ΤΩΙ ΑΥΤΩΙ

## ΚΕΛΗΤΙ ΟΛΥΜΠΙΑ.>

στρ. α'. Εὔμοιρε Συρακοσίων
ἱπποδινήτων στραταγέ,
γνώσει μὲν ἰοστεφάνων
Μοισᾶν γλυκύδωρον ἄγαλμα, τῶν γε νῦν
αἴ τις ἐπιχθονίων,
ὀρθῶς· φρένα δ' εὐθύδικον
ἀτρέμ' ἀμπαύσας μεριμνᾶν
δεῦρ' <ἐπ>άθρησον νόῳ,
ἢ σὺν Χαρίτεσσι βαθυζώνοις ὑφάνας
ὕμνον ἀπὸ ζαθέας
νάσου ξένος ὑμετέραν πέμ-
πει κλεενναν ἐς πόλιν,
χρυσάμπυκος Οὐρανίας κλει-
νὸς θεράπων· ἐθέλει δὲ
γᾶρυν ἐκ στηθέων χέων

ἀντ. α'. αἰνεῖν Ἱέρωνα. βαθὺν
δ' αἰθέρα ξουθαῖσι τάμνων
ὑψοῦ πτερύγεσσι ταχεί-
αις αἰετὸς εὐρυάνακτος ἄγγελος
Ζηνὸς ἐρισφαράγου
θαρσεῖ κρατερᾷ πίσυνος
ἰσχύϊ, πτάσσοντι δ' ὄρνι-
χες λιγύφθογγοι φόβῳ·
οὔ νιν κορυφαὶ μεγάλας ἴσχουσι γαίας,

οὐδ᾽ ἁλὸς ἀκαμάτας
Col. 7 δυσπαίπαλα κύματα· νωμᾶ-
ται δ᾽ ἐν ἀτρύτῳ χάει
λεπτότριχα σὺν ζεφύρου πνοι-
αῖσιν ἔθειραν ἀρίγνω-
τος μετ᾽ ἀνθρώποις ἰδεῖν·

ἐπ. α΄. τὼς νῦν καὶ <ἐ>μοὶ μυρία πάντᾳ κέλευθος
ὑμετέραν ἀρετὰν
ὑμνεῖν, κυανοπλοκάμου θ᾽ ἕκατι Νίκας
χαλκεοστέρνου τ᾽ Ἄρηος,
Δεινομένευς ἀγέρω-
χοι παῖδες· εὖ ἔρδων δὲ μὴ κάμοι θεός.
ξανθότριχα μὲν Φερένικον
Ἀλφεὸν παρ᾽ εὐρυδίναν
πῶλον ἀελλοδρόμαν
εἶδε νικάσαντα χρυσόπαχυς Ἀώς,

στρ. β΄. Πυθῶνί τ᾽ ἐν ἀγαθέᾳ·
γᾶ δ᾽ ἐπισκήπτων πιφαύσκω·
οὔπω νιν ὑπὸ προτέρων
ἵππων ἐν ἀγῶνι κατέχρανεν κόνις
πρὸς τέλος ὀρνύμενον·
ῥιπᾷ γὰρ ἴσος Βορέα
ὃν κυβερνήταν φυλάσσων
ἵεται νεόκροτον
νίκαν Ἱέρωνι φιλοξείνῳ τιτύσκων.
ὄλβιος ᾧτινι θεὸς
μοῖράν τε καλῶν ἔπορεν
σύν τ᾽ ἐπιζήλῳ τύχᾳ
ἀφνεὸν βιοτὰν διάγειν· οὐ
γάρ τις ἐπιχθονίων

πάντα γ' εὐδαίμων ἔφυ.

ἀντ. β'. καὶ μὰν π]οτ' ἐρειψιπύλαν
παῖδ' ἀνίκ]ατον λέγουσιν
δῦναι Διὸς] ἀργικεραύ-
Col. 8 νου δώματα Φερσεφόνας τανισφύρου,
καρχαρόδοντα κύν' ἄ-
ξοντ' ἐς φάος ἐξ 'Αΐδα,
υἱὸν ἀπλάτοι' Ἐχίδνας·
ἔνθα δυστάνων βροτῶν
ψυχὰς ἐδάη παρὰ Κωκυτοῦ ῥεέθροις,
οἷά τε φύλλ' ἄνεμος
Ἴδας ἀνὰ μηλοβότους
πρῶνας ἀργηστὰς δονεῖ.
ταῖσιν δὲ μετέπρεπεν εἴδω-
λον θρασυμέμνονος ἐγ-
χεσπάλου Πορθανίδα·

ἐπ. β'. τὸν δ' ὡς ἴδεν Ἀλκμήνιος θαυμαστὸς ἥρως
τεύχεσι λαμπόμενον,
νευρὰν ἐπέβασε λιγυκλαγγῆ κορώνας,
χαλκεόκρανον δ' ἔπειτ' ἐξ-
είλετο (Ϝ)ιὸν ἀνα-
πτύξας φαρέτρας πῶμα· τῷ δ' ἐναντία
ψυχὰ προφάνη Μελεάγρου
καί νιν εὖ εἰδὼς προσεῖπεν·
υἱὲ Διὸς μεγάλου,
σταθί τ' ἐν χώρᾳ, γελανώσας τε θυμόν

στρ. γ'. μὴ ταΰσιον προΐει
τραχὺν ἐκ χειρῶν ὀϊστὸν
ψυχαῖσιν ἔπι φθιμένων·
οὔτοι δέος. ὣς φάτο· θάμβησεν δ' ἄναξ

Ἀμφιτρυωνιάδας,
εἶπέν τε· τίς ἀθανάτων
ἢ βροτῶν τοιοῦτον ἔρνος
θρέψεν ἐν ποίᾳ χθονί;
τίς δ' ἔκτανεν; ἦ τάχα καλλίζωνος Ἥρα
κεῖνον ἐφ' ἁμετέρᾳ
πέμψει κεφαλᾷ· τὰ δέ που
Col. 9 Παλλάδι ξανθᾷ μέλει.
τὸν δὲ προσέφα Μελέαγρος
δακρυόεις· χαλεπὸν
θεῶν παρατρέψαι νόον

ἀντ. γ'. ἄνδρεσσιν ἐπιχθονίοις.
καὶ γὰρ ἂν πλάξιππος Οἰνεὺς
παῦσεν καλυκοστεφάνου
σεμνᾶς χόλον Ἀρτέμιδος λευκωλένου
λισσόμενος πολέων
τ' αἰγῶν θυσίαισι πατὴρ
καὶ βοῶν φοινικονώτων·
ἀλλ' ἀνίκατον θεὰ
ἔσχεν χόλον· εὐρυβίαν δ' ἔσσευε κούρα
κάπρον ἀναιδομάχαν
ἐς καλλίχορον Καλυδῶ-
ν', ἔνθα πλημύρων σθένει
ὄρχους ἐπέκειρεν ὀδόντι,
σφάζε τε μῆλα, βροτῶν
θ' ὅστις εἰσάνταν μόλοι.

ἐπ. γ'. τῷ δὲ στυγερὰν δῆριν Ἑλλάνων ἄριστοι
στασάμεθ' ἐνδυκέως
ἓξ ἄματα συνεχέως· ἐπεὶ δὲ δαίμων
κάρτος Αἰτωλοῖς ὄρεξεν,

θάπτομεν οὓς κατέπε-
φνεν σῦς ἐριβρύχας ἐπαΐσσων βίᾳ,
Ἀγκαῖον ἐμῶν τ' Ἀγέλαον
φ[έρτ]ατον κεδνῶν ἀδελφεῶν,
οὓς τέ]κεν ἐν μεγάροις
πατρὸ]ς Ἀλθαία περικ'λειτοῖσιν Οἰνέος·

στρ. δ'. τῶν δ' ὤ]λεσε μοῖρ' ὀλοὰ
πλεῦνα]ς· οὐ γάρ πω δαΐφρων
παῦσεν] χόλον ἀγροτέρα
Col. 10 Λατοῦς θυγάτηρ· περὶ δ' αἴθωνος δορᾶς
μαρνάμεθ' ἐνδυκέως
Κουρῆσι μενεπτολέμοις·
ἔνθ' ἐγὼ πολλοῖς σὺν ἄλλοις
Ἴφικλον κατέκτανον
ἐσθλόν τ' Ἀφάρητα, θοοὺς μάτρωας· οὐ γὰρ
καρτερόθυμος Ἄρης
κρίνει φίλον ἐν πολέμῳ·
τυφλὰ δ' ἐκ χειρῶν βέλη
ψυχαῖς ἔπι δυσμενέων φοι-
τᾷ θάνατόν τε φέρει
τοῖσιν ἂν δαίμων θέλῃ·

ἀντ. δ'. ταῦτ' οὐκ ἐπιλεξαμένα
Θεστίου κούρα δαΐφρων
μάτηρ κακόποτμος ἐμοὶ
βούλευσεν ὄλεθρον ἀτάρβακτος γυνά·
καῖέ τε δαιδαλέας
ἐκ λάρνακος ὠκύμορον
φιτρὸν ἀγκλαύσασα, τὸν δὴ
μοῖρ' ἐπέκλωσεν τότε
ζωᾶς ὅρον ἁμετέρας ἔμμεν. τύχον μὲν

Δαϊπύλου Κλύμενον
παῖδ' ἄλκιμον ἐξεναρί-
ζων ἀμώμητον δέμας,
πύργων προπάροιθε κιχήσας·
τοὶ δὲ πρὸς εὐκτιμέναν
φεῦγον ἀρχαίαν πόλιν

ἐπ. δ'. Πλευρῶνα· μινύνθη δέ μοι ψυχὰ γλυκεῖα,
γνῶν δ' ὀλιγοσθενέων·
αἰαῖ· πύματον δὲ πνέων δάκρυσα τλ[άμων
ἀγλαὰν ἥβαν προλείπων.
φασὶν ἀδεισιβόαν
Col. 11 Ἀμφιτρύωνος παῖδα μοῦνον δὴ τότε
τέγξαι βλέφαρον, ταλαπενθέ̣ο̣ς
πότμον οἰκτίροντα φωτός·
καί νιν ἀμειβόμενος
τοῖ' ἔφα· θνατοῖσι μὴ φῦναι φέριστον,

στρ. ε'. μηδ' ἀελίου προσιδεῖν
φέγγος· ἀλλ' οὐ γάρ τίς ἐστιν
πρᾶξις τάδε μυρομένοις,
χρὴ κεῖνο λέγειν ὅ,τι καὶ μέλλει τελεῖν.
ἦ̣ ῥά τις ἐν μεγάροις
Οἰνῆος ἀρηϊφίλου
ἔστιν ἀδμήτα θυγάτρων,
σοὶ φυὰν ἀλιγκία;
τάν κεν λιπαρὰν ἐθέλων θείμαν ἄκοιτιν.
τὸν δὲ μενεπτολέμου
ψυχὰ π̣ροσέφα Μελεά-
γρου· λίπον χλωραύχενα
ἐν δώμασι Δαϊάνειραν,
νῆϊν ἔτι χρυσέας

Κύπριδος θελξιμβρότου.

ἀντ. ε′. λευκώλενε Καλλιόπα,
στᾶσον εὐποίητον ἅρμα
αὐτοῦ· Δία τε Κρονίδαν
ὕμνησον Ὀλύμπιον ἀρχαγὸν θεῶν,
τόν τ᾿ ἀκαμαντορόαν
Ἀλφε̣ό̣ν, Πέλοπός τε βίαν,
καὶ Πίσαν, ἔνθ᾿ ὁ κλεεννὸς
ποσσὶ νικάσας δρόμῳ
ἦλθ]εν Φερένικος <ἐς> εὐπύργους Συρακόσ-
σας Ἱέρωνι φέρων
εὐδ]αιμονίας πέταλον.
χρὴ δ᾿ ἀλαθείας χάριν
Col. 12 αἰνεῖν, φθόνον ἀμφοτέραισιν
χερσὶν ἀπωσάμενον,
εἴ τις εὖ πράσσοι βροτῶν.

ἐπ. ε′. Βοιωτὸς ἀνὴρ τᾷδε φών[ησεν, γλυκειᾶν
Ἡσίοδος πρόπολος
Μουσᾶν, ὃν <ἂν> ἀθάνατοι τι[μῶσι, τούτῳ
καὶ βροτῶν φήμαν ἕπ[εσθαι.
πείθομαι εὐμαρέως
εὐκλέα̣ κελεύθου γλῶσσαν οὐ[κ ἐκτὸς δίκας
πέμπειν Ἱέρωνι· τόθεν γὰρ
πυθμένες θάλλουσιν ἐσθλ[ῶν,
τοὺς ὁ μεγιστοπάτωρ
Ζεὺς ἀκινήτους ἐν εἰρήν[ᾳ φυλάσσοι.

# VI.

## ΛΑΧΩΝΙ ΚΕΙΩΙ

## <ΠΑΙΔΙ> ΣΤΑΔΙΕΙ ΟΛΥΜΠΙΑ

στρ. α'. Λάχων Διὸς μεγίστου
λάχε φέρτατον πόδεσσι
κῦδος ἐπ' Ἀλφεοῦ προχοαῖς, [κάλ' αὔξων
δι' ὅσσα πάροιθεν
ἀμπελοτρόφον Κέον
ἄεισάν ποτ' Ὀλυμπίᾳ
πύξ τε καὶ στάδιον κρατεῦ-
σαν] στεφάνοις ἐθείρας

στρ. β'. νεανίαι βρύοντες.
σὲ δὲ νῦν ἀναξιμόλπου
Οὐρανίας ὕμνος ἕκατι νίκ[ας
Ἀριστομένειον
ὦ ποδάνεμον τέκος,
γεραίρει προδόμοις ἀοι-
δαῖς, ὅτι στάδιον κρατή-
σας Κέον εὐκλέϊξας.

# VII.

## ΤΩΙ ΑΥΤΩΙ

Ὦ λιπαρὰ θύγατερ Χρόνου τε κ[αὶ
Νυκτός, σὲ πεντήκοντα μ[ῆνες ἄγαγον
ἑκκαιδεκάταν ἐν Ὀλυμπ[ίᾳ φανεῖσαν,

Col. 13 ᾇ π]αρ[' Ἀλφειῷ Πέλοπός τε τάφῳ χαίρ-
ον]τος αἱμ[ακουρίαις πέπρωται
κρίνειν τα[χυτᾶτά τε] λαιψηρῶν ποδῶν
Ἕλλασι καὶ γυίων ἀρισταλκὲς σθένος·
ᾧ δὲ σὺ πρεσβύτατον νείμῃς γέρας
νίκας ἐπ' ἀνθρώποισιν εὔδοξος κέκλη-
ται καὶ πολυζήλωτος. Ἀρ[ιστομένει]ον
νῦν γ]' ἐκόσμη[σας στε]φάν[οισι Λάχω]να
παῖδα]
. . . . . . . .
. . . . . . . . ομῳ
* * * *

Πυθῶνά τε μηλοθύταν
Col. 14 ὑμνέων Νεμέαν τε καὶ Ἰσθμόν·
γᾷ δ' ἐπισκήπτων χέρα
κομπάσομαι· σὺν ἀλα-
θείᾳ δὲ πᾶν λάμπει χρέος·
οὔτις ἀνθρώπων κ[αθ' Ἕλλα-
νας ἐν ἅλικι χρόνῳ
παῖς ἐὼν ἀνήρ τε π[λεῦ-
νας ἐδέξατο νίκας.
ὦ Ζεῦ κεραυνεγχές, κα[ὶ ἐπ' ἀργυ]ροδίνα
ὄχθαισιν Ἀλφειοῦ τέλεσσ[ας μεγ]αλοκλέας
θεοδότους εὐχάς, περὶ κ[ρατί τ' ὄ]πα[σσα]ς
γλαυκὸν Αἰτωλίδος
ἄνδημ' ἐλαίας
ἐν Πέλοπος Φρυγίου
κλεινοῖς ἀέθλοις.

# VIII. [IX.]

## ΑΥΤΟΜΗΔΕΙ ΦΛΕΙΑΣΙΩΙ

## ΠΕΝΤΑΘΛΩΙ ΝΕΜΕΑ

στρ. α΄. *Δόξαν, ὦ χρυσαλάκατοι Χάριτες,*
*πεισίμβροτον δοίητ᾽, ἐπεὶ*
*Μουσᾶν γε (F)ιοβλεφάρων θεῖος προφάτας*
*εὔτυκος Φλειοῦντά τε καὶ Νεμεαίου*
*Ζηνὸς εὐθαλὲς πέδον*
*ὑμνεῖν, ὅθι μηλοδαΐκταν*
*θρέψεν ἁ λευκώλενος*
*Ἥρα περικλειτῶν ἀέθλων*
*πρῶτον Ἡρακλεῖ βαρύφθογγον λέοντα.*

ἀντ. α΄. *κεῖ[θι φοι]νικάσπιδες ἡμίθεοι*
*πρώτιστον Ἀργείων κριτοὶ*
*ἄθλησαν ἐπ᾽ Ἀρχεμόρῳ, τὸν ξανθοδερκὴς*
*πέφν᾽ ἀωτεύοντα δράκων ὑπέροπλος,*
*σᾶμα μέλλοντος φόνου.*
*ὦ μοῖρα πολυκρατές· οὔ νιν*
*πεῖθ᾽ Οϊκλείδας πάλιν*
*στείχειν ἐς εὐάνδρους ἀγυιάς.*
*ἐλπὶς ἀνθρώπων ὑφαιρ[εῖται προνοίας·*

ἐπ. α΄. *ἃ καὶ τότ᾽ Ἄδραστον Ταλ[αϊονίδαν*
**Col. 15** *πέμπεν ἐς Θήβας Πολυνείκεϊ πλα[γκτῷ] πρό-*
*ξεν[ον.*
*κείνων ἀπ᾽ εὐδόξων ἀγώνων*
*ἐν Νεμέᾳ κλεινοὶ βροτῶν*

οἳ τριέτει στεφάνῳ
  ξανθὰν ἐρέψωνται κόμαν.
Αὐτομήδει νῦν γε νικά-
  σαντί νιν δαίμων ἔδωκεν.

στρ. β′. πενταέθλοισιν γὰρ ἐνέπρεπεν ὡς
ἄστρων διακρίνει φάη
νυκτὸς διχομήνιδος εὐφεγγὴς σελάνα·
τοῖος Ἑλλάνων δι' ἀπείρονα κύκλον
φαῖνε θαυμαστὸν δέμας,
δισκὸν τροχοειδέα ῥίπτων,
καὶ μελαμφύλλου κλάδον
ἀκτέας ἐς αἰπεινὰν προπέμπων
αἰθέρ' ἐκ χειρὸς βοὰν ὤτρυνε λαῶν,

ἀντ. β′. ἢ τελευταίας ἀμάρυγμα πάλας·
τοιῷ[δ' ὑπερθύ]μῳ σ[θένε]ι
γυια[λκέα σώ]ματα [πρὸς γ]αίᾳ πελάσσας
ἵκετ' ['Ασωπὸ]ν παρὰ πορφυροδίναν,
τοῦ κ[λέος π]ᾶσαν χθόνα
ἦλθε[ν καὶ] ἐπ' ἔσχατα Νείλου·
ταί τ' ἐπ' ε[ὐν]αεῖ πόρῳ
οἰκεῦσι Θερμώδοντος, ἐγχέων
ἵστορες κοῦραι διωξίπποι' Ἄρηος,

ἐπ. β′. σῶν, ὦ πολυζήλωτε (Ϝ)άναξ ποταμῶν,
ἐγγόνων γεύσαντο, καὶ ὑψιπύλου Τροίας ἕδος.
στείχει δι' εὐρείας κελεύθου
  μυρία παντᾷ φάτις
σᾶς γενεᾶς λιπαρο-
  ζώνων θυγάτρων, ἃς θεοὶ
σὺν τύχαις ᾤκισσαν ἀρχα-
  γοὺς ἀπορθήτων ἀγυιᾶν.

στρ. γ'. 1 τίς γὰρ οὐκ οἶδεν κυανοπλοκάμου
2 Θήβας ἐΰδμ[ατον πόλι]ν,
Col. 16 3 ἢ τὰν μεγαλώνυ]μον Αἴγιναν, μεγίστου
4 Ζηνὸς ἃ πλαθεῖσα λέ]χει τέκεν ἥρω
5 – δ̣ε̣σ̣ω̣ – – ου·
6 ὃς γ]ᾶς βασά[νοισιν Ἀχ]αιῶν
7 – ⏑ – ⏓ – ⏑ –
8 – – ⏑ – – – ⏑ – –
9 ᾱ[⏑ – – – ⏑ ε]ὔπ[ε]πλον [Κλεώναν

ἀντ. γ'. 1 ἤ[δὲ Πειράν]αν ἑλικοστέφα[νον
2 κ[ούραν, ὅ]σαι τ' ἄλλαι θεῶν
3 ε̣[ὐναῖς ἐδ]άμησαν ἀριγνώτοις π[α]λαι[οῦ
4 παῖδες αἰ]δ̣οῖαι ποταμοῦ κελάδοντος·
5 τοῦ νυν ἀρχαί]αν πόλιν
6 κῶμοι κατέχου]σί τε νίκα[ς
7 καὶ λύραις αὐ]λῶν βοαὶ
8 σύμφωνα πνείο]υσαι· με[γίστου
9 χρὴ Διὸς πρῶτον σέβας θ' Ἥραν τ' ἀείδει]ν·

ἐπ. γ'. 1 Ἥβαν τ' ἔπειτα Ζηνὸς ἐρισθε]νέος
2 χρ]υσέα[ν προσ]θέντα (Ϝ)ιόπλοκον εὖ εἰπεῖν [κόραν,
3 καὶ μ]ατ[έρ' ἀγ]νάμπτων ἐρώτων
4 – ⏑ – κλε]ινὰν βροτο[ῖς
5 – ⏑ ⏑ – ⏑]λέων
6 – – ⏑ – – – ⏑ –
7 – ⏑ – νασι]ώταν
8 – ⏑ – – – ⏑]ν ὕμνον,

στρ. δ'. 1 – ⏑ – – –] καὶ ἀποφθιμένῳ
2 τὸν πάντ' ἐς ἄτ]ρυτον χρόνον,

καὶ τοῖς ἐπιγ]ιγνομένοις αἰεὶ πιφαύσκοι
σὰν Νε]μέᾳ νίκαν· τό [γέ] τοι καλὸν ἔργον
γνησίων ὕμνων τυχὸν
ὑψοῦ παρὰ δαίμοσι κεῖται·
σὺν δ' ἀλαθείᾳ βροτῶν
κάλλιστον, εἴπ[ερ καὶ θάνῃ τις,
λείπεται Μουσᾶν [ἀγακλειτᾶν ἄθυ]ρμα.

ἀντ. δ'. εἰσὶ δ' ἀνθρ[ώπων ἀρεταῖσιν ὁδοὶ
Col. 17 πολλαί· διακρίνει δὲ θεῶν
βουλὰ [τὸ καλυπτό]μενον νυκτὸς [δνόφοισιν·
τὸν δὲ χείρω τ' ἄγα]γε καὶ τὸν ἀρείω
Ζηνὸς αἶσ' ὀρσικτύ]που.
κρυπτὸς γὰρ ὅ τ' ἐσθλὰ φυτ]εύσων
[ἔργα χὤ μὴ πρὶν μολεῖν]
ἐς πεῖραν· ὤπασσαν δὲ π]αύροις
ἀν]δρ[άσιν Μοῖραι τεκμαίρεσθαι] τὸ μέλλον·

ἐπ. δ'. ὔμ]μι[ν δὲ καὶ Δάματρος ἔδ]ωκε χάριν
κ]αὶ Διων[ύσου Κρονίδας] θεοτίματον πόλιν
ναίειν ἀπο[ρθήτους θαλ]εῦντας·
χρυσεοσκάπτρ[ου Διὸς
ὅς] τι καλὸν φέ[ρεται,
πᾶς αἰ]νέοι· Τιμοξ[ένου
πα]ιδὶ σὺν κώ[μοις ἁμαρ-
τέ]οιτε πεντ[άθλου (F)έκατι.

# IX. [X.]

## <ΑΓΛΑΩΙ (?) ΑΘΗΝΑΙΩΙ

## ΔΡΟΜΕΙ ΙΣΘΜΙΑ>

στρ. α΄. Φή]μα, σὺ γ[ὰ]ρ ἀ[γγελίαις θνατῶν ἐπ]οιχνεῖς
φῦ]λα, καὶ πᾶ[σιν πιφαύσκεις
τηλόσ]ε λαμπ[ομένα
καὶ γᾶς ὑ]πὸ κεύ[θεσι· κλεινοὶ
δ' οἳ γέ]νωνται [χάρμ' ἔχουσιν
παντὶ χώρ]ῳ ξ[υν]όν, ὅ,τι χρυ[σέαν ἴδον εὔ-
ο[λβον] ὀφθαλμοῖσι Ν[ίκαν
π[αῦλ]αν ἀπράκταν [τε μόχθων.
Ἀ[γλ]αῷ καὶ νῦν κασιγνήτας ἀκοίτας
νασιῶτιν ἐκίνησεν λιγύφθογγον μέλισσαν,

ἀντ. α΄. ἀχ]ειρὲς ἵν' ἀθάνατον Μουσᾶν ἄγαλμα
ξυνὸν ἀνθρώποισιν εἴη
χάρμα, τεὰν ἀρετὰν
μανῦον ἐπιχθονίοισιν,
ὁσσάκις Νίκας ἕκατι
ἄνθεσι ξανθὰν ἀναδησάμενος κεφαλὰν
κῦδος εὐρείαις Ἀθάναις
θῆκας Οἰνείδαις τε δόξαν.
ἐν Ποσειδᾶνος περικλειτοῖς ἀέθλοις
Col. 18 εὐθὺς ἔνδειξ]ας Ἕλλασιν ποδῶν ὁρμὰν ταχεῖαν·

ἐπ. α΄. δεύτερον δ' οὔ]ροισιν ἔπι σταδίου,
θερμ[ὰν ἔτι] πνέων ἄελλαν,

ἔστα[· βρέχω]ν δ' ᾆξ' αὖτε θατήρων ἐλαίῳ
φάρε[' ἐς εὔθροο]ν ἐμπίτνων ὅμιλον,
τετρ[αέλικτο]ν ἐπεὶ
κάμ[ψεν δρό]μον. Ἰσθμιονίκαν
δίς ν[ιν ἀγκ]άρυξαν εὐβού-
λων [ἀεθλάρχ]ων προφᾶται·

στρ. β΄. δὶς δ' ἐ[ν Νεμέ]ᾳ Κρονίδα Ζηνὸς παρ' ἁγνὸν
βωμό[ν· ἁ κλει]νά τε Θήβα
δέκτ[ο νιν ε]ὐρύχορόν
τ' Ἄργο[ς Σικυώ]ν τε κατ' αἶσαν·
οἵ τε Π[ελλάν]αν νέμονται,
ἀμφί τ' Εὔβοιαν πολ[υλάϊο]ν, οἵ θ' ἱερὰν
νᾶσο[ν Αἴγιν]αν. ματεύει
δ' ἄλλ[ος ἀλλοί]αν κέλευθον,
ἅντι[να στείχ]ων ἀριγνώτοιο δόξας
τεύξεται. μυρίαι δ' ἀνδρῶν ἐπιστᾶμαι πέλονται·

ἀντ. β΄. ἢ γὰρ σοφὸς ἢ Χαρίτων τιμᾶν λελογχὼς
ἐλπίδι χρυσέᾳ τέθαλεν·
ἤ τινα θευπροπίαν
εἰδώς· ἕτερος δ' ἐπὶ πάσι
ποικίλον τόξον τιταίνει·
οἱ δ' ἐπ' ἔργοισίν τε καὶ ἀμφὶ βοῶν ἀγέλαις
θυμὸν αὔξουσιν· τὸ μέλλον
δ' ἀκρίτους τίκτει τελευτάς,
πᾷ τύχα βρίσει. τὸ μὲν κάλλιστον, ἐσθλὸν
ἄνδρα πολλῶν ὑπ' ἀνθρώπων πολυζήλωτον εἶμεν·

ἐπ. β΄. οἶδα καὶ πλούτου μεγάλαν δύνασιν,

2 ἃ καὶ τὸν ἀχρεῖον τί[θησ]ι
3 χρηστόν. τί μακρὰν γλῶσσαν ἰθύσας ἐλαύνω
4 ἐκτὸς ὁδοῦ; πέφαται θνατοῖσι νίκας
5 ὕστε]ρον εὐφροσύνα·
Col. 19 6 αὐλῶν [καναχαῖσι γλυκεῖαν
7 μειγν[ύμεν φόρμιγγος ὀμφὰν
8 χρή τιν' [εὐμούσους τ' ἀοιδάς.

# X. [XI.]

## ΑΛΕΞΙΔΑΜΩΙ ΜΕΤΑΠΟΝΤΙΝΩΙ

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ ΠΥΘΙΑ

στρ. α'. 1 Νίκα [γλυκύδωρε, μεγίσταν
2 σοὶ πατ[ὴρ ὤπασσε τιμὰν
3 ὑψίζυγ[ος Οὐρανιδᾶν
4 ἐν πολυχρύσῳ δ' Ὀλύμπῳ
Ζηνὶ παρισταμένα
6 κρίνεις τέλος ἀθανάτοι-
7 σίν τε καὶ θνατοῖς ἀρετᾶς.
8 ἔλλαθι, [βαθυ]πλοκάμου
9 κούρα [Στυγὸς ὀρ]θοδίκου· σέθεν δ' ἕκατι
καὶ νῦν Μεταπόντιον εὐ-
11 γυίων [κατέχ]ουσι νέων
12 κῶμοί τε καὶ εὐφροσύναι θεότιμον ἄστυ·
13 ὑμνεῦσι δὲ Πυθιόνικον
14 παῖδα θαητὸν Φαΐσκου.

ἀντ. α'. 1 ἵλεῳ νιν ὁ Δαλογενὴς υἱ-
2 ὸς βαθυζώνοιο Λατοῦς

δέκτο βλεφάρῳ· πολέες
δ᾽ ἀμφ᾽ Ἀλεξίδαμον ἀνθέων
ἐν πεδίῳ στέφανοι
Κίρρας ἔπεσον κρατερᾶς
ἦρα παννίκοιο πάλας·
οὐκ εἶδέ νιν ἀέλιος
κείνῳ γε σὺν ἅματι πρὸς γαίᾳ πεσόντα.
φάσω δὲ καὶ ἐν ζαθέοις
ἁγνοῦ Πέλοπος δαπέδοις
Ἀλφεὸν παρὰ καλλιρόαν, δίκας κέλευθον
εἰ μή τις ἀπέτραπεν ὀρθᾶς,
παγξένῳ χαίταν ἐλαίᾳ

*ἐπ. α΄.* γλαυκᾷ στεφανωσάμενον
πορτιτρόφ[ον ἂν πεδίον πάτ]ραν θ᾽ ἱκέσθαι.
[οὔ τι δόλος κακόφρων]
**Col. 20** παῖδ᾽ ἐν χθονὶ καλλιχόρῳ
ποικίλαις τέχναις πέλασσεν·
ἀλλ᾽ ἢ θεὸς αἴτιος, ἢ
γνῶμαι πολύπλαγκτοι βροτῶν
ἄ]μερσαν ὑπέρτατον ἐκ χειρῶν γέρας.
νῦν δ᾽ Ἄρτεμις ἀγροτέρα
χρυσαλάκατος λιπαρὰν
ἡμέ]ρα τοξόκλυτος νίκαν ἔδωκε.
τᾷ ποτ᾽ Ἀβαντιάδας
βωμὸν κατένασσε πολύλ-
λιστον εὔπεπλοί τε κοῦραι·

*στρ. β΄.* τὰς ἐξ ἐρατῶν ἐφόβησεν
παγκρατὴς Ἥρα μελάθρων
Προίτου, παραπλῆγι φρένας
καρτερᾷ ζεύξασ᾽ ἀνάγκᾳ·

παρθενίᾳ γὰρ ἔτι
ψυχᾷ κίον ἐς τέμενος
πορφυροζώνοιο θεᾶς·
φάσκον δὲ πολὺ σφέτερον
πλούτῳ προφέρειν πατέρα ξανθᾶς παρέδρου
σεμνοῦ Διὸς εὐρυβία.
ταῖσιν δὲ χολωσαμένα
στήθεσσι παλίντροπον ἔμβαλεν νόημα·
φεῦγον δ' ὄρος ἐς τανίφυλλον,
σμερδαλέαν φωνὰν ἰεῖσαι,

ἀντ. β'. Τιρύνθιον ἄστυ λιποῦσαι
καὶ θεοδμάτους ἀγυιάς,
ἤδη γὰρ ἔτος δέκατον
θεοφιλὲς λιπόντες Ἄργος
ναῖον ἀδεισιβόαι
χαλκάσπιδες ἡμίθεοι
σὺν πολυζήλῳ βασιλεῖ.
νεῖκος γὰρ ἀμαιμάκετον
βληχρᾶς ἀνέπαλτο κασιγνητοῖς ἀπ' ἀρχᾶς
Col. 21 Προίτῳ τε καὶ Ἀκρισίῳ·
λαούς τε διχοστασίαις
ἤρειπον ἀμετροδίκοις μάχαις τε λυγραῖς.
λίσσοντο δὲ παῖδας Ἄβαντος
γᾶν πολύκριθον λαχόντας

ἐπ. β'. Τίρυνθα τὸν ὁπλότερον
κτίζειν, πρὶν ἐς ἀργαλέαν πεσεῖν ἀνάγκαν·
Ζεύς τ' ἔθελεν Κρονίδας,
τιμῶν Δαναοῦ γενεὰν
καὶ διωξίπποιο Λυγκέος,
παῦσαι στυγερῶν ἀχέων.

τεῖχος δὲ Κύκλωπες κάμον
ἐλθόντες ὑπερφίαλοι κλεινᾷ πόλει
κάλλιστον, ἵν᾽ ἀντίθεοι
ναῖον κλυτὸν ἱππόβοτον
Ἄργος ἥρωες περικλειτοὶ λιπόντες.
ἔνθεν ἀπεσσύμεναι
Προίτου κυανοπλόκαμοι
φεῦγον ἄδματοι θύγατρες,

στρ. γʹ. τὸν δ᾽ εἷλεν ἄχος κραδίαν, ξεί-
να τέ νιν πλᾶξεν μέριμνα·
δοίαξε δὲ φάσγανον ἄμ-
φακες ἐν στέρνοισι πᾶξαι.
ἀλλά νιν αἰχμοφόροι
μύθοισί τε μειλιχίοις
καὶ βίᾳ χειρῶν κάτεχον.
τρισκαίδεκα μὲν τελέους
μῆνας κατὰ δάσκιον ἠλύκταζον ὕλαν
φεῦγόν τε κατ᾽ Ἀρκαδίαν
μηλοτρόφον· ἀλλ᾽ ὅτε δὴ
Λοῦσον ποτὶ καλλιρόαν πατὴρ ἵκανεν,
ἔνθεν χρόα νιψάμενος φοι-
νικο[κραδέμνοι]ο Λατοῦς

ἀντ. γʹ. κίκλ[ησκε θύγατρα] βοῶπιν,
Col. 22 χεῖρας ἀντείνων πρὸς αὐγὰς
ἱππώκεος ἀελίου,
τέκνα δυστάνοιο λύσσας
πάρφρονος ἐξαγαγεῖν·
θύσω δέ τοι εἴκοσι βοῦς
ἄζυγας φοινικότριχας.
τοῦ δ᾽ ἔκλυ᾽ ἀριστοπάτρα

9 θηροσκόπος εὐχομένου· πιθοῦσα δ' Ἥραν
10 παῦσεν καλυκοστεφάνους
11 κούρας μανιᾶν ἀθέων·
12 ταὶ δ' αὐτίκα (Ϝ)οι τέμενος βωμόν τε τεῦχον,
13 χραῖνόν τέ μιν αἵματι μήλων
14 καὶ χοροὺς ἵσταν γυναικῶν.

ἐπ. γ'. 1 ἔνθεν καὶ ἀρηϊφίλοις
2 ἄνδρεσσιν < ἐς > ἱπποτρόφον πόλιν < τ' > Ἀχαιοῖς
3 ἕσπεο, σὺν δὲ τύχᾳ
4 ναίεις Μεταπόντιον, ὦ
5 χρυσέα δέσποινα λαῶν·
6 ἄλσος τέ τοι ἱμερόεν
7 Κάσαν παρ' εὔυδρον πρὸ να-
8 οῖ' ἐσσαμένων, Πριάμοι' ἐπεὶ χρόνῳ
9 βουλαῖσι θεῶν μακάρων
10 πέρσαν πόλιν εὐκτιμέναν
11 χαλκοθωράκων μετ' Ἀτρειδᾶν. δικαίας
12 ὅστις ἔχει φρένας, εὑ-
13 ρήσει σὺν ἅπαντι χρόνῳ
14 μυρίας ἀλκὰς Ἀχαιῶν.

# XI. [XII.]

## ΤΕΙCΙΑΙ ΑΙΓΙΝΗΤΗΙ

## ΠΑΛΑΙCΤΗΙ ΝΕΜΕΑ

στρ. Ὡσεὶ κυβερνήτας σοφός, ὑμνοάνασ-
σ' εὔθυνε Κλειοῖ
νῦν φρένας ἁμετέρας,
εἰ δή ποτε καὶ πάρος· ἐς γὰρ ὀλβίαν
ξείνοισί με πότνια Νίκα
νᾶσον Αἰγίνας ἀπάρχει
ἐλθόντα κοσμῆσαι θεόδματον πόλιν·

ἀντ.? τάν τ' ἐν Νεμέᾳ γυιαλκέα μουνοπάλαν

[The rest is lost.]

# XII. [XIII.]

## <ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ

## ΠΑΓΚΡΑΤΙΑCΤΗΙ ΝΕΜΕΑ>

στρ. α'. [Eight verses lost.]

Col. 23 — ⏑ ⏑ — ⏑ ⏑ — —
— ⏑ ⏑ — ⏑ ⏑ λειω
— ⏑ ⏑ — ⏑ ⏑ — — .'ερ[
— ⏑ ⏑ — ⏑ ⏑ —
— — ⏑ — — — ⏑ — δαν·

στρ. β'. [ἀντ. α', ἐπ. α', and the first ten verses of στρ. β', are lost.]

Col. 24 ὕβριος ὑψινόου
παύσει, δίκας θνατοῖσι κραίνων·

ἀντ. β'. οἵαν τινὰ δύσλοφον ὠ-
μηστᾷ λέοντι
Περσείδας ἐφίησι<ν>
χεῖρα παντοίαισι τέχναις·
οὐ γὰρ] δαμασίμβροτος αἴθων
χαλ]κὸς ἀπλάτου θέλει
χωρε]ῖν διὰ σώματος, ἐ-
γνάμ]φθη δ' ὀπίσσω
φάσγα]νον· ἦ ποτέ φαμι
τᾷδε] περὶ στεφάνοισι
παγκ]ρατίου πόνον Ἑλ-
λάνεσσι]ν ἱδρώεντ' ἔσεσθαι.

ἐπ. β'. ὃς νῦν παρ]ὰ βωμὸν ἀριστάρχου Διὸς
Νίκας ἐ]ρ[ικ]υδέος ἀν-
δεθε]ῖσιν ἄνθεα,
χρυσέ]αν δόξαν πολύφαντον ἐν αἰ-
ῶνι] τρέφει παύροις βροτῶν
αἰ]εί, καὶ ὅταν θανάτοιο
κυάνεον νέφος καλύψῃ, λείπεται
ἀθάνατον κλέος εὖ ἐρ-
χθέντος ἀσφαλεῖ σὺν αἴσᾳ.

στρ. γ'. τῶν καὶ σὺ τυχὼν Νεμέᾳ,
Λάμπωνος υἱέ,
πανθαλέων στεφάνοισιν
ἀνθέων] χαίταν ἐρεφθείς,
αὔξων] πόλιν ὑψιάγυιαν
ἤλυθες] τερψιμβρότων

αὐλῶν ὑπό θ'] ἀ[δυπν]όων
κώμων πατρ[ῴα]ν
νᾶσο[ν], ὑπέρβι[ον] ἰσχὺν
παμμαχιᾶν ἀναφαίνων.
ὦ ποταμοῦ θύγατερ
δινᾶντος Αἴγιν' ἠπιόφρον,

Col. 25 ἀντ. γ'. ἦ τοι μεγάλαν [Κρονίδας
ἔδωκε τιμὰν
ἐν πάντεσσιν [ἀέθλοις,
πυρσὸν ὣς Ἕλλ[ασι παντᾷ
φαίνων· τό γε σὸ[ν κλέος αἶ]νεῖ
καί τις ὑψαυχὴς κό[ρα,
[λευκοῖς ἀνὰ γᾶν ἱερὰν]
πόδεσσι ταρφέω[ς,
ἠΰτε νεβρὸς ἀπενθής,
ἀνθεμόεντας ἐπ' [ὄχθους
κοῦφα σὺν ἀγχιδό[μοις
θρῴσκουσ' ἀγακλειτα[ῖς ἑταίρα]ις·

ἐπ. γ'. ταὶ δὲ στεφανωσάμε[ναι πλόκοις ν]έων
ἀνθέων δόνακός τ' ἐ[πιχω-
ρίαν ἄθυρσιν
παρθένοι μέλπουσι τ[εὸν κράτος], ὦ
δέσποινα παγξε[ίνου χθονός,
Ἐνδαΐδα τε ῥοδό[παχυν,
ἃ τ[ὸν ἱππευτὰ]ν ἔτ[ικτε Πηλέα
καὶ Τελαμῶνα [κορυστάν,
Αἰακῷ μειχθεῖσ' ἐν ε[ὐναῖς·

στρ. δ'. τῶν <θ'> υἷας ἀερσιμάχους,
ταχύν τ' Ἀχιλλέα
εὐειδέος τ' Ἐριβοίας

παῖδ' ὑπέρθυμον βοα[θόον
Αἴαντα σακεσφόρον ἥ[ρω,
ὅς τ' ἐπὶ πρύμνᾳ σταθεὶς
ἔσχεν θρασυκάρδιον [ὁρ-
μαίνοντα ν[ᾶας
θεσπεσίῳ πυ[ρὶ καῦσαι
Ἕκτορα χαλ[κεομίτρα]ν,
ὁππότε Π[ηλεΐδας
τραχεῖαν [Ἀργείοισι μ]ᾶνιν

ἀντ. δ'.
ὠρίνατ[ο, Δαρδανίδας
τ' ἔλυσεν ἄ[τας·
οἳ πρὶν μὲν [πολύπυργο]ν
Col. 26
Ἰλίου θαητὸν ἄστυ
οὐ λεῖπον, ἀτυζόμενοι [δὲ
πτ]ᾶσσον ὀξεῖαν μάχαν,
εὖτ' ἐν πεδίῳ κλονέων
μαίνοιτ' Ἀχιλλεύς,
λαοφόνον δόρυ σείων·
ἀλλ' ὅτε δὴ πολέμοιο
λῆξεν ἰοστεφάνου
Νηρῇδος ἀτρόμητος υἱός·

ἐπ. δ'.
ὥστ' ἐν κυανανθέϊ Θ[ρᾳκὶ ναυβάτας
πόντῳ Βορέας ὑπὸ κύ-
μασιν δαΐζει
νυκτὸς ἀντάσας, ἀνατ[ελλομένᾳ
λῆξεν δὲ σὺν φαεσιμβρότῳ
Ἀοῖ, στόρεσεν δέ τε πόντον
οὐρία· νότου δὲ κόλπ[ωσαν πνοᾷ
ἱστίον, ἁρπαλέως τ' ἄ-
ελπτον ἐξίκοντο χέρσον·

στρ. ε΄. ὣς Τρῶες, ἐπεὶ κλύον αἰ-
χματὰν Ἀχιλλέα
μίμνοντ᾽ ἐν κλισίῃσιν
εἵνεκεν ξανθᾶς γυναικός,
Βρισηΐδος ἱμερογυίου,
θεοῖσιν ἄντειναν χέρας,
φοιβὰν ἐσιδόντες ὑπαὶ
χειμῶνος αἴγλαν·
πασσυδίᾳ δὲ λιπόντες
τείχεα Λαομέδοντος
ἐς πεδίον κρατερὰν
ἄϊξαν ὑσμίναν φέροντες·

ἀντ. ε΄. ὦρσάν τε φόβον Δαναοῖς·
ὤτρυνε δ᾽ Ἄρης
εὐεγχής, Λυκίων τε
Λοξίας ἄναξ Ἀπόλλων·
ἶξόν τ᾽ ἐπὶ θῖνα θαλάσσας·
Col. 27 ναυσὶ δ᾽ εὐπρύμνοις παραὶ
μάρναντ᾽, ἐναριζομένων
δ᾽ ἔρ]ευθε φώτων
αἵμα]τι γαῖα μέλαινα
Ἑκτορ]έας ὑπὸ χειρός,
πῆμα μ]έγ᾽ ἡμιθέοις
ὀξεῖαν] ἰσοθέων δι᾽ ὁρμάν.

ἐπ. ε΄. ἆ τλάμ]ονες, ἦ μεγάλαισιν ἐλπίσιν
πνεί]οντες ὑπερφίαλον
[φρόνημ᾽ ἐθάρσευν]
Τρῶε]ς ἱππευταὶ κυανώπιδας ἐκ-
πέρσασιν Ἀργείων] νέας
παύραις χορὸν εἰλα]πίνας τ᾽ ἐν

ἀμέ]ρ[α]ις ἕξειν θεόδματον πόλιν.
μέλλον ἄρα πρότερον δι-
νᾶντα φοινίξειν Σκάμανδρον,

στρ. ϛ'. θνᾴσκοντες ὑπ' Αἰακίδαις
ἐρειψ[ιλάοις·
τῶν εἰ καὶ [διόλωλεν
ἢ βαθυξύλ[ῳ πυρᾷ –
– – ⏑ ⏑ – ⏑ ⏑ – –
– ⏑ – – – ⏑ –
– – ⏑ ⏑ – ⏑ ⏑ –
– – ⏑ – –
– ⏑ ⏑ – ⏑ – –]
οὐ γὰρ ἀλα[μπέσ]ι νυ[κτὸς
πασιφανὴς Ἀρετὰ
κρυφθεῖσ' ἀμαυρο[ῦται δνόφοισιν,

ἀντ. ϛ'. ἀλλ' ἔμπεδον ἀκ[αμάτᾳ
βρύουσα δόξᾳ
στρωφᾶται κατὰ γᾶν [τε
καὶ πολυπλάγκταν θ[άλασσαν.
καὶ μὰν φερεκυδέα ν[ᾶσον
Αἰακοῦ τιμᾷ, σὺν Εὐ-
κλείᾳ δὲ φιλοστεφ[άνῳ
Col. 28 πόλιν κυβερνᾷ,
Εὐνομία τε σαόφρων,
ἃ θαλίας τε λέλογχεν
ἄστεά τ' εὐσεβέων
ἀνδρῶν ἐν εἰρήνᾳ φυλάσσει·

ἐπ. ϛ'. νίκαν τ' ἐρικυδέα μέλπετ', ὦ νέοι,
Πυθέα, μελέταν τε βροτω-
φελέα Μενάνδρου,

τὰν ἐπ' Ἀλφειοῦ τε ῥοαῖς θαμὰ δὴ
τίμασεν ἁ χρυσάρματος
σεμνὰ μεγάθυμος Ἀθάνα,
μυρίων τ' ἤδη μίτραισιν ἀνέρων
ἐστεφάνωσεν ἐθείρας
ἐν Πανελλάνων ἀέθλοις.

στρ. ζ'. εἰ μή τινα θερσιεπὴς
φθόνος βιᾶται,
αἰνείτω σοφὸν ἄνδρα
σὺν δίκᾳ. βροτῶν δὲ μῶμος
πάντεσσι μέν ἐστιν ἐπ' ἔργοις·
ἁ δ' ἀλαθεία φιλεῖ
νικᾶν, ὅ τε πανδαμάτωρ
χρόνος τὸ καλῶς
ἐ]ργμένον αἰὲν ἀ[έξει·
δυσμενέων δὲ μα[ταία
γλῶσσ' ἀϊδ]ὴς μιν[ύθει

[The last v. of στρ. ζ', and the first nine of ἀντ. ζ', are lost.]

Col. 29 ἀντ. ζ'. ἐλπίδι θυμὸν ἰαίν[ει·
τᾷ καὶ ἐγὼ πίσυνο[ς
φοινικοκραδέμνοισ[ι Μούσαις

ἐπ. ζ'. ὕμνων τινὰ τάνδε ν[εόπλοκον δόσιν
φαίνω, ξενίαν τε [φιλά-
γλαον γεραίρω,
τὰν ἐμοὶ Λάμπων [παρέχων χάριν οὐ
βληχρὰν ἐπαθρήσαις τ[ίει,
τὰν εἴ γ' ἐτύμως ἄρα Κλειὼ
πανθαλὴς ἐμαῖς ἐνέσταξ[εν φρασίν,
τερψιεπεῖς νιν ἀοιδαὶ
παντὶ καρύξοντι λαῷ.

# XIII. [XIV.]

## ΚΛΕΟΠΤΟΛΕΜΩΙ ΘΕΣΣΑΛΩΙ

### ΙΠΠΟΙϹ ΠΕΤΡΑΙΑ

στρ. α΄. Εὖ μὲν εἱμάρθαι παρὰ δαί[μονος ἀν-
θρώποις ἄριστον·
συμφορὰ δ' ἐσθλόν τ' ἀμαλδύ-
νει βαρύτλατος μολοῦσα·
κἀγατ]ὸν ἰδ' ὑψιφανῆ τε[ύ-
χει κ]ατορθωθεῖσα· τιμὰν
δ' ἄλ]λος ἀλλοίαν ἔχει·

ἀντ. α΄. μυρί]αι δ' ἀνδρῶν ἀρεταί, μία δ' ἐ[κ
πασᾶ]ν πρόκειται,
ὃς τὸ] πὰρ χειρὸς κυβερνᾶ-
ται δι]καίαισι φρένεσσιν.
οὔτ' ἐ]ν βαρυπενθέσιν ἁρμό-
ζει μ]άχαις φόρμιγγος ὀμφὰ
καὶ λι]γυκλαγγεῖς χοροί,

ἐπ. α΄. οὔτ' ἐ]ν θαλίαις καναχὰ
χαλκ]όκτυπος· ἀλλ' ἐφ' ἑκάστῳ
καιρὸς] ἀνδρῶν ἔργματι κάλ-
λιστος· εὖ ἔρδοντα δὲ καὶ θεὸς ὀ[ρθοῖ.
Κλεοπτολέμῳ δὲ χάριν
νῦν χρὴ Ποσειδᾶνός τε Πετραί-
ου τέμενος κελαδῆσαι,
Πυρρίχου τ' εὔδοξον ἱππόν[ικον υἱόν,

*στρ. β'.* 1 ὃς *φιλοξείνου τε καὶ ὀρθοδ[ίκου*

[The last six verses of *στρ. β'*, the whole of *ἀντ. β'*, and the first three verses of *ἐπ. β'*, are lost.]

*ἐπ. β'.* 4 – ⏑ – *ε]ὐώδεα Θεσσα[λ* ⏑ – –
5 ⏑ – ⏑ ⏑] *ἐν γυάλοις·*
6 – – ⏑ *Πα]ντέλης κ[*⏑ – –
7 – ⏑ ⏑ – ⏑ ⏑ –]*δων*

[The rest of the ode is lost.]

# ΔΙΘΥΡΑΜΒΟΙ

## XIV. [XV.]

### ΑΝ]ΤΗΝΟΡΙΔΑΙ

### Η ΕΛΕΝΗ]Ϲ ΑΠΑΙΤΗϹΙϹ

Col. 30 *στρ. α′.* 1 Ἀντήνορος] ἀντιθέου
2 σύζυξ θεμερῶ]πις, Ἀθάνας πρόσπολος,
3 ὤϊξεν ἁγνὸν Π]αλλάδος ὀρσιμάχου
4 ναὸν θύρας τε χ]ρυσέας
ἀγγέλοις δισσοῖσι]ν Ἀργείων Ὀδυσσεῖ
6 Λαρτιάδᾳ Μενελ]άῳ τ᾽ Ἀτρεΐδᾳ βασιλεῖ
7 — ⏑ — — — βαθύ]ζωνος Θεανὼ

*ἀντ. α′.* 1 — — ⏑ ⏑ — ⏑ ⏑]ον
2 ⏓ — ⏑ ⏑ — ⏑ ⏑ —] προσήνεπεν
3 ⏓ — ⏑ — — — ⏑ ἐ]ϋκτιμέναν
4 — — ⏑ — — — ⏑ —
5 — ⏑ — — — ⏑ — —]ḍων τυχόντες
6 — ⏑ ⏑ — ⏑ ⏑ — — — ⏑ ⏑ —] σὺν θεοῖς
7 — ⏑ — — — ⏑ — — — ⏑ —]ους

[*ἐπ. α′*, and the first v. of *στρ. β′*, are lost.]

*στρ. β′.* — — ⏑⏑ — ⏑⏑ —
2 — — ⏑⏑ — μεσονύ]κτιος κέαρ

[The last five vv. of *στρ. β′*, and the first v. of *ἀντ. β′*, are lost.]

*ἀντ. β′.* — — ⏑⏑ — ⏑⏑ —

⏓ – ⏑ ⏑ <οὐ γὰρ ὑπόκλοπον φορεῖ
βροτοῖσι φωνάεντα λόγον σοφία.>

[The last four vv. of ἀντ. β′, and the first v. of ἐπ. β′, are lost.]

ἐπ. β′. – – ⏑ – – – ⏑⏑ – ⏑⏑ –
Col. 31 ἆγον, πατὴρ δ' εὔβουλος ἥρως
πάντα σάμαινεν Πριάμῳ βασιλεῖ
παίδεσσί τε μῦθον Ἀχαιῶν.
ἔνθα κάρυκες δι' εὐ-
  ρεῖαν πόλιν ὀρνύμενοι
Τρώων ἀόλλιζον φάλαγγας

στρ. γ′. δεξίστρατον εἰς ἀγοράν.
παντᾷ δὲ διέδραμεν αὐδάεις λόγος·
θεοῖς δ' ἀνίσχοντες χέρας ἀθανάτοις
εὔχοντο παύσασθαι δυᾶν.
Μοῦσα, τίς πρῶτος λόγων ἆρχεν δικαίων;
Πλεισθενίδας Μενέλαος γάρυϊ θελξιεπεῖ
φθέγξατ', εὐπέπλοισι κοινώσας Χάρισσιν·

ἀντ. γ′. ὦ Τρῶες ἀρηΐφιλοι,
Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέρκεται,
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων,
ἀλλ' ἐν μέσῳ κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποις Δίκαν ἰθεῖαν, ἁγνᾶς
Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιτος·
ὀλβίων παῖδές νιν αἱρεῦνται σύνοικον.

ἐπ. γ′. ἁ δ' αἰόλοις κέρδεσσι καὶ ἀφροσύναις
ἐξαισίοις θάλλουσ' ἀθαμβὴς
Ὕβρις, ἃ πλ[οῦτον] δύναμίν τε θοῶς
ἀλλότριον ὤπασεν, αὖτις
δ' ἐς βαθὺν πέμπει φθόρον,
  κείνα καὶ ὑπερφιάλους
Γᾶς παῖδας ὤλεσσεν Γίγαντας.

# XV. [XVI.]

## [ΗΡΑΚΛΗΣ]

στρ. Πυθ]ίου [ἔπ' εἶμ'], ἐπεὶ
ὁλκ]άδ' ἔπεμψεν ἐμοὶ χρυσέαν
Πιερ]ίαθε[ν ἐΰθ]ρονος Οὐρανία,
  πολυφ]άτων γέμουσαν ὕμνων
ἐς θεόν,] εἴτ' ἄρ' ἐπ' ἀνθεμόεντι Ἕβρῳ
θηρσὶν ἀ]γάλλεται ἢ δολιχαύχενι κύκνῳ,
ὀπὶ ἁ]δείᾳ φρένα τερπόμενος,
  μέχρι Πυθῶνά]δ' ἵκῃ παιηόνων
Col. 32 ἄνθεα πεδοιχνεῖν,
Πύθι' Ἄπολλον,
  τόσα χοροὶ Δελφῶν
σὸν κελάδησαν παρ' ἀγακλέα ναόν.

ἀντ. πρίν γε κλέομεν λιπεῖν
Οἰχαλίαν πυρὶ δαπτομέναν
Ἀμφιτρυωνιάδαν θρασυμηδέα φῶ-
  θ', ἵκετο δ' ἀμφικύμον' ἀκτάν·
ἔνθ' ἀπὸ λαΐδος εὐρυνεφεῖ Κηναίῳ
Ζηνὶ θύεν βαρυαχέας ἐννέα ταύρους
δύο τ' ὀρσιάλῳ δαμασίχθονι μέλ-
  λε κόρᾳ τ' ὀβριμοδερκεῖ ἄζυγα
παρθένῳ Ἀθάνᾳ
ὑψικέραν βοῦν.
τότ' ἄμαχος δαίμων
Δαϊανείρᾳ πολύδακρυν ὕφανε

ἐπ. μῆτιν ἐπίφρον', ἐπεὶ
πύθετ' ἀγγελίαν ταλαπενθέα,
Ἰόλαν ὅτι λευκώλενον
Διὸς υἱὸς ἀταρβομάχας
ἄλοχον λιπαρὸ[ν π]οτὶ δόμον πέμποι.
ἆ δύσμορος, ἆ τάλαιν', οἷον ἐμήσατο·
φθόνος εὐρυβίας νιν ἀπώλεσεν,
δνόφεόν τε κάλυμμα τῶν
ὕστερον ἐρχομένων,
　ὅτ' ἐπὶ ῥοδόεντι Λυκόρμᾳ
δέξατο Νέσσου πάρα δαιμόνιον τέρ[ας.

## XVI. [XVII.]

### ΗΙΘΕΟΙ

### Η] ΘΗΣΕΥΣ

στρ. α′. Κυανόπρῳρα μὲν ναῦς μενέκτυπον
Θησέα δὶς ἑπτά τ' ἀγλαοὺς ἄγουσα
　κούρους Ἰαόνων
Κρητικὸν τάμνε πέλαγος·
τηλαυγέϊ γὰρ [ἐν] φάρεϊ
　βορήϊαι πίτνον αὖραι
　κλυτᾶς ἕκατι π[ο]λεμαίγιδος Ἀθάνας·
Col. 33 κνίσεν τε Μίνωϊ κέαρ
　ἱμεράμπυκος θεᾶς
Κύπριδος [αἰ]νὰ δῶρα·
　χεῖρα δ' οὐκέτι παρθενικᾶς
ἄτερθ' ἐράτυεν, θίγεν

δὲ λευκᾶν παρηΐδων·
βόασέ τ' Ἐρίβοια χαλκο-
θώρακα Πανδίονος
ἔκγονον· ἴδεν δὲ Θησεύς,
μέλαν δ' ὑπ' ὀφρύων
δίνασεν ὄμμα, καρδίαν τέ (F)οι
σχέτλιον ἄμυξεν ἄλγος,
εἶρέν τε· Διὸς υἱὲ φερτάτου,
ὅσιον οὐκέτι τεᾶν
ἔσω κυβερνᾷς φρενῶν
θυμόν· ἴσχε μεγαλοῦχον ἥρως βίαν.

ἀντ. α'. ὅ τι μὲν ἐκ θεῶν μοῖρα παγκρατὴς
ἄμμι κατένευσε καὶ Δίκας ῥέπει τά-
λαντον, πεπρωμέναν
αἶσαν ἐκπλήσομεν, ὅταν
ἔλθῃ· σὺ δὲ βαρεῖαν κάτε-
χε μῆτιν. εἰ καί σε κεδνὰ
τέκεν λέχει Διὸς ὑπὸ κρόταφον Ἴδας
μιγεῖσα Φοίνικος ἐρα-
τώνυμος κόρα βροτῶν
φέρτατον, ἀλλὰ κἀμὲ
Πιτθέος θυγάτηρ ἀφνεοῦ
πλαθεῖσα ποντίῳ τέκεν
Ποσειδᾶνι, χρύσεον
τέ (F)οι δόσαν ἰόπλοκοι
κάλυμμα Νηρηΐδες.
τῶ σε, πολέμαρχε Κνωσίων,
κέλομαι πολύστονον
ἐρύκεν ὕβριν· οὐ γὰρ ἂν θέλοι-
Col. 34 μ' ἀμβρότοιο ἐραννὸν Ἀοῦς

ἰδεῖν φάος, ἐπεί τιν' ἠϊθέων
σὺ δαμάσειας ἀέκον-
τα· πρόσθε χειρῶν βίαν
δείξομεν· τὰ δ' ἐπιόντα δαίμων κρινεῖ.

ἐπ. α΄.
τόσ' εἶ]πεν ἀρέταιχμος ἥρως·
τάφον δὲ ναυβάται
φωτὸς] ὑπεράφανον
θάρσος· Ἁλίου τε γαμβρῷ χολώ[σατ' ἦτορ,
ὕφαινέ τε ποταινίαν
μῆτιν, εἶπέν τε· μεγαλοσθενὲς
Ζεῦ πάτερ, ἄκουσον· εἴπερ μ[ε κούρ]α
Φοίνισσα λευκώλενος σοὶ τέκε,
νῦν πρόπεμπ' ἀπ' οὐρανοῦ θ[οὰν
πυριέθειραν ἀστραπὰν
σᾶμ' ἀρίγνωτον· εἰ
δὲ καὶ σὲ Τροιζηνία σεισ[ίχθ]ονι
φύτευσεν Αἴθρα Ποσει-
δᾶνι, τόνδε χρύσεον
χειρὸς ἀγλαὸν
ἔνεγκε κόσμον <ἐκ> βαθείας ἁλός,
δικὼν θράσει σῶμα πατρὸς ἐς δόμους.
εἴσεαι δ' αἴ κ' ἐμᾶς κλύῃ
Κρόνιος εὐχᾶς
ἀναξιβρόντας ὁ πάντων μεδέων.

στρ. β΄.
κλύε δ' ἄμετρον εὐχὰν μεγασθενὴς
Ζεύς, ὑπέροχόν τε Μίνωϊ φύτευσε
τιμὰν φίλῳ θέλων
παιδὶ πανδερκέα θέμεν,
ἄστραψέ θ'· ὁ δὲ θυμάρμενον
ἰδὼν τέρας πέτασε χεῖρας

κλυτὰν ἐς αἰθέρα μενεπτόλεμος ἥρως,
εἶρέν τε· Θησεῦ, <σὺ> τάδε
μὲν βλέπεις σαφῆ Διὸς
δῶρα· σὺ δ' ὄρνυ' ἐς βα-
ρύβρομον πέλαγος· Κρονίδας
Col. 35 δέ τοι πατὴρ ἄναξ τελεῖ
Ποσειδὰν ὑπέρτατον
κλέος χθόνα κατ' ἠΰδενδρον.
ὣς εἶπε· τῷ δ' οὐ πάλιν
θυμὸς ἀνεκάμπτετ', ἀλλ' εὐ-
πάκτων ἐπ' ἰκρίων
σταθεὶς ὄρουσε, πόντιόν τέ νιν
δέξατο θελημὸν ἄλσος.
τά[φ]εν δὲ Διὸς υἱὸς ἔνδοθεν
κέαρ, κέλευσέ τε κατ' οὖ-
ρον ἴσχεν εὐδαίδαλον
νᾶα· μοῖρα δ' ἑτέραν ἐπόρσυν' ὁδόν.

ἀντ. β΄. ἵετο δ' ὠκύπομπον δόρυ· σόει
νιν βορεὰς ἐξόπιν πνέουσ' ἀήτα·
τρέσσαν δ' Ἀθαναίων
ἠϊθέων <πᾶν> γένος, ἐπεὶ
ἥρως θόρεν πόντονδε, κα-
τὰ λειρίων τ' ὀμμάτων δά-
κρυ χέον, βαρεῖαν ἐπιδέγμενοι ἀνάγκαν·
φέρον δὲ δελφῖνες ἁλι-
ναιέται μέγαν θοῶς
Θησέα πατρὸς ἱππί-
ου δόμον, μέγαρόν τε θεῶν
μόλεν· τόθι κλυτὰς ἰδὼν
ἔδεισ' ὀλβίοιο Νη-

ρέος κόρας· ἀπὸ γὰρ ἀγλα-
ῶν λάμπε γυίων σέλας
ὧτε πυρός, ἀμφὶ χαίταις
δὲ χρυσεόπλοκοι
δίνηντο ταινίαι· χορῷ δ' ἔτερ-
πον κέαρ ὑγροῖσι ποσσίν·
σεμνάν τε πατρὸς ἄλοχον φίλαν
ἴδε βοῶπιν ἐρατοῖ-
σιν Ἀμφιτρίταν δόμοις·
ἅ νιν ἀμφέβαλεν αἰόλαν πορφύραν,

ἐπ. β'. κόμαισί τ' ἐπέθηκεν οὔλαις
Col. 36 ἀμεμφέα πλόκον,
τόν ποτέ (F)οι ἐν γάμῳ
δῶκε δόλιος Ἀφροδίτα ῥόδοις ἐρεμνόν.
ἄπιστον ὅ τι δαίμονες
θέ͜ωσιν οὐδὲν φρενοάραις βροτοῖς·
νᾶα παρὰ λεπτόπρυμνον φάνη· φεῦ,
οἵαισιν ἐν φροντίσι Κνώσιον
ἔσχασεν στραταγέταν, ἐπεὶ
μόλ' ἀδίαντος ἐξ ἁλὸς
θαῦμα πάντεσσι, λάμ-
πε δ' ἀμφὶ γυίοις θεῶν δῶρ', ἀγλαό-
θρονοί τε κοῦραι σὺν εὐ-
θυμίᾳ νεοκτίτῳ
ὠλόλυξαν, ἔ-
κλαγεν δὲ πόντος· ἠΐθ͜εοι δ' ἐγγύθεν
νέοι παιάνιξαν ἐρατᾷ (F)οπί.
Δάλιε, χοροῖσι Κηΐων
φρένα ἰανθεὶς
ὄπαζε θ͜εόπομπον ἐσθλῶν τύχαν.

# XVII. [XVIII.]

## ΘΗϹΕΥϹ

στρ. α'. ΧΟ. Βασιλεῦ τᾶν ἱερᾶν Ἀθανᾶν,
τῶν ἁβροβίων ἄναξ Ἰώνων,
τί νέον ἔκλαγε χαλκοκώδων
σάλπιγξ πολεμηΐαν ἀοιδάν;
ἦ τις ἁμετέρας χθονὸς
δυσμενὴς ὅρι' ἀμφιβάλλει
στραταγέτας ἀνήρ;
ἢ λῃσταὶ κακομάχανοι
ποιμένων ἀέκατι μήλων
σεύοντ' ἀγέλας βίᾳ;
ἢ τί τοι κραδίαν ἀμύσσει;
φθέγγευ· δοκέω γὰρ εἴ τινι βροτῶν
ἀλκίμων ἐπικουρίαν
καὶ τὶν ἔμμεναι νέων,
ὦ Πανδίονος υἱὲ καὶ Κρεούσας.

στρ. β'. ΑΙΓ. Νέ]ον ἦλθεν δολιχὰν ἀμείψας
Col. 37 κᾶρυξ ποσὶν Ἰσθμίαν κέλευθον·
ἄφατα δ' ἔργα λέγει κραταιοῦ
φωτός· τὸν ὑπέρβιόν τ' ἔπεφνεν
Σίνιν, ὃς ἰσχύϊ φέρτατος
θνατῶν ἦν, Κρονίδα Λυταίου
σεισίχθονος τέκος·
σῦν τ' ἀνδροκτόνον ἐν νάπαις
Κρεμμυῶνος, ἀτάσθαλόν τε
Σκίρωνα κατέκτανεν·

τάν τε Κερκυόνος παλαίστραν
ἔσχεν, Πολυπήμονός τε καρτερὰν
σφῦραν ἐξέβαλεν Προκό-
πτας, ἀρείονος τυχὼν
φωτός. ταῦτα δέδοιχ' ὅπᾳ τελεῖται.

στρ. γ'. ΧΟ. Τίνα δ' ἔμμεν πόθεν ἄνδρα τοῦτον
λέγει, τίνα τε στολὰν ἔχοντα;
πότερα σὺν πολεμηΐοις ὅ-
πλοισι στρατιὰν ἄγοντα πολλάν;
ἢ μοῦνον σὺν ὀπάοσιν
στείχειν ἔμπορον οἶ' ἀλάταν
ἐπ' ἀλλοδαμίαν,
ἰσχυρόν τε καὶ ἄλκιμον
ὧδε καὶ θρασύν, ὅς <τε> τούτων
ἀνδρῶν κρατερὸν σθένος
ἔσχεν; ἦ θεὸς αὐτὸν ὁρμᾷ,
δίκας ἀδίκοισιν ὄφρα μήσεται·
οὐ γὰρ ῥᾴδιον αἰὲν ἔρ-
δοντα μὴ 'ντυχεῖν κακῷ.
πάντ' ἐν τῷ δολιχῷ χρόνῳ τελεῖται.

στρ. δ'. ΑΙΓ. Δύο (Ϝ)οι φῶτε μόνους ἁμαρτεῖν
λέγει, περὶ φαιδίμοισι δ' ὤμοις
ξίφος ἔχειν <ἐλεφαντόκωπον>·
ξεστοὺς δὲ δύ' ἐν χέρεσσ' ἄκοντας
Col. 38 κηΰτυκτον κυνέαν Λάκαι-
ναν κρατὸς πέρι πυρσοχαίτου·
στέρνοις τε πορφύρεον
χιτῶν' ἄμφι, καὶ οὔλιον
Θεσσαλὰν χλαμύδ'· ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν

φοίνισσαν φλόγα· παῖδα δ' ἔμμεν
  πρώθηβον, ἀρηΐων δ' ἀθυρμάτων
μεμνᾶσθαι πολέμου τε καὶ
  χαλκεοκτύπου μάχας·
δίζησθαι δὲ φιλαγλάους Ἀθάνας.

## XVIII. [XIX.]

### ΙΩ

### ΑΘΗΝΑΙΟΙϹ

στρ. Πάρεστι μυρία κέλευθος
  ἀμβροσίων μελέων,
ὃς ἂν παρὰ Πιερίδων λά-
  χη̣σι δῶρα Μουσᾶν,
ἰοβλέφαροί τε καὶ
  φερεστέφανοι Χάριτες
  βάλωσιν ἄμφι τιμὰν
ὕμνο̣ισιν· ὕφαινέ νυν ἐν
  ταῖς πολυηράτοις τι κλεινὸν
    ὀλβίαις Ἀθάναις,
εὐαίνετε Κηΐα μέριμν̣α.
  πρέπει σε φερτάταν ἴμεν
ὁδὸν παρὰ Καλλιόπας λα-
  χοῖσαν ἔξοχον γέρας.
ἦεν Ἄργος ὅθ' ἵππιον λιποῦσα
φεῦγε χρυσέα βοῦς,
εὐρυσθενέος φραδαῖσι φερτάτου Διός,
Ἰνάχου ῥοδοδάκτυλος κόρα·

ἀντ. ὅτ' Ἄργον ὄμμασιν βλέποντα
  πάντοθεν ἀκαμάτοις

μεγιστοάνασσα κέλευσε
  χρυσόπεπλος Ἥρα
ἄκοιτον ἄϋπνον ἐόν-
  τα καλλικέραν δάμαλιν
  φυλάσσεν· οὐδὲ Μαίας
υἱὸς δύνατ' οὔτε κατ' εὐ-
  φεγγέας ἁμέρας λαθεῖν νιν
Col. 39  οὔτε νύκτας ἁγν[άς.
εἴτ' οὖν γένετ' ἐ[ν μάχας ἀγῶνι
  ποδαρκέ' ἄγγελο[ν Διὸς
κτανεῖν τότε [Γᾶς ὑπέροπλον
  ὀβριμοσπόρου λ[όχον
Ἄργον· ἦ ῥα καὶ [ὄμματ' αἰνὰ λῦσαν
ἄσπετοι μέριμν[αι·
ἢ Πιερίδες φύτευ[σαν ἁδύμῳ μέλει
καδέων ἀνάπαυσ[ιν ἐμπέδων·

ἐπ. ἐμοὶ μὲν οὖν
ἀσφαλέστατον ἁ πρ[ὸς ἔσχατ' οἶμα,
ἐπεὶ παρ' ἀνθεμώ[δεα
Νεῖλον ἀφίκετ' ο[ἰστροπλὰξ
Ἰὼ φέρουσα παῖδ[α γαστρὶ τὸν Διός,
Ἔπαφον· ἔνθα νι[ν τέκ' εὐκλέα
λινοστόλων πρύ[τανιν πολιτᾶν,
ὑπερόχῳ βρύοντ[α τιμᾷ,
μεγίσταν τε θνα[τῶν ἔφανεν γενέθλαν,
ὅθεν καὶ Ἀγανορί[δας
ἐν ἑπταπύλοισ[ι Θήβαις
Κάδμος Σεμέλ[αν φύτευσεν,
ἃ τὸν ὀρσιβάκχαν
τίκτεν Διόνυσον, [εὐφρόνων τε κώμων
καὶ χορῶν στεφα[νοφόρων ἄνακτα.

# XIX. [XX.]

## ΙΔΑΣ

## ΛΑΚΕΔΑΙΜΟΝΙΟΙΣ

*Σπάρτᾳ ποτ' ἐν ε[ὐρυχόρῳ*
*ξανθαὶ Λακεδαιμον[ίων*
*τοιόνδε μέλος κ[όραι ὕμνευν,*
*ὅτ' ἄγετο καλλιπά[ρᾳον*
*κόραν θρασυκάρ[διος Ἴδας*
*Μάρπησσαν ἰότ[ριχ' ἐς οἴκους,*
*φυγὼν θανάτου τ[αχὺν οἶτον,*
*ἀναξίαλος Ποσει[δὰν ὅτε δίφρον ὀπάσσας*
*ἵππους τέ* (F)*οι ἰσαν[έμους*
*Πλευρῶν' ἐς ἐϋκτ[ιμέναν ἐπόρευσε παραὶ*
*χρυσάσπιδος υἱὸ[ν Ἄρηος*

[The rest is lost.]

# FRAGMENTS.

## ΕΠΙΝΙΚΟΙ.

**1.** [Bergk 4: Blass 1.]

*Ὡς δ' ἅπαξ εἰπεῖν, φρένα καὶ πυκινὰν*
*κέρδος ἀνθρώπων βιᾶται.*

## ΥΜΝΟΙ.

**2.** [B. 11: Bl. 2.]

*Αἰαῖ τέκος ἁμέτερον,*
*μεῖζον ἢ πενθεῖν ἐφάνη κακόν, ἀφθέγκτοισιν ἶσον.*

## ΠΑΙΑΝΕΣ.

**3.** [B. 13: Bl. 4.]

*Τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα*
*πλοῦτον μελιγλώσσων τ' ἀοιδᾶν ἄνθεα,*
*δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν*
*ξανθᾷ φλογὶ μῆρα τανυτρίχων τε μήλων,*
*γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν.*
*ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν*
*ἀραχνᾶν ἱστοὶ πέλονται·*
*ἔγχεά τε λογχωτὰ ξίφεα τ' ἀμφάκεα δάμναται εὐρώς.*
*χαλκεᾶν δ' οὐκ ἔστι σαλπίγγων κτύπος,*
*οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων,*
*ἀῷος ὃς θάλπει κέαρ.*
*συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαί, παιδικοί θ'*
*ὕμνοι φλέγονται.*

**4.** [B. 14: Bl. 5.]

Ἕτερος ἐξ ἑτέρου σοφὸς τό τε πάλαι τό τε νῦν.
οὐδὲ γὰρ ῥᾷστον ἀρρήτων ἐπέων πύλας
ἐξευρεῖν.

**5.** [B. 15: Bl. 6.]

Ἄρκτου παρούσης ἴχνη μὴ ζήτει.

## ΔΙΘΥΡΑΜΒΟΙ.

**6.** [B. 41: Bl. p. 159.]

Ποσει]δάνιον ὡ[ς
Μαντ]ινέες τριό[δοντα χαλκοδαιδάλοισιν ἐν
ἀσπίσι]ν φορεῦν[τες...
ἀφ' ἱπποτρ]όφου πό[λιος...

## ΠΡΟΣΟΔΙΑ.

**7.** [B. 19: Bl. 11.]

Εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ διατελεῖν δύναται βίον·
ὃς δὲ μυρία μὲν ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ' ἆμάρ τε καὶ νύκτα μελλόντων χάριν
ἑὸν ἰάπτεται κέαρ, ἄκαρπον ἔχει πόνον.

**8.** [B. 20: Bl. 12.]

τί γὰρ ἐλαφρὸν ἔτ' ἐστὶν ἄπρακτ' ὀδυρόμενον δονεῖν
καρδίαν;

**9.** [B. 21: Bl. 13.]

Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν
ἄλλους.

## ΥΠΟΡΧΗΜΑΤΑ.

**10.** [B. 22: Bl. 14.]

Λυδία μὲν γὰρ λίθος μανύει
χρυσόν, ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατής τ'
ἐλέγχει ἀλάθεια . . . . .

**11.** [B. 23: Bl. 15.]

Οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς,
ἀλλὰ χρυσαίγιδος Ἰτωνίας
χρὴ παρ' εὐδαίδαλον ναὸν ἐλ-
θόντας ἁβρόν τι δεῖξαι <μέλος>.

**12.** [B. 31: Bl. 16.]

Ὦ περικλειτὲ Δᾶλ, ἀγνοήσειν μὲν οὔ σ' ἔλπομαι.

## ΕΡΩΤΙΚΑ.

**13.** [B. 24: Bl. 17.]

...εὖτε
τὴν ἀπ' ἀγκύλης ἵησι
τοῖσδε τοῖς νεανίαις
λευκὸν ἀντείνασα πῆχυν.

**14.** [B. 25: Bl. 18.]

Ἦ καλὸς Θεόκριτος· οὐ μόνος ἀνθρώπων ὁρᾷς.

**15.** [B. 26: Bl. 19.]

Σὺ δ' ἐν χιτῶνι μούνῳ
παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

## [ΠΑΡΟΙΝΙΑ.]

### 16. [B. 27 : Bl. 20.]

.............................. στρ. α′
...γλυκεῖ' ἀνάγκα
σευομενᾶν κυλίκων θάλπῃσι θυμόν,
Κυπρίδος δ' ἐλπὶς διαιθύσσῃ φρένας,

ἀμμειγνυμένα Διονυσίοισι δώροις· στρ. β′
ἀνδράσι δ' ὑψοτάτω πέμπει μερίμνας·
αὐτίκα μὲν πολίων κράδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ·

χρυσῷ δ' ἐλέφαντί τε μαρμαίρουσιν οἶκοι· στρ. γ′
πυροφόροι δὲ κατ' αἰγλάεντα <πόντον>
νᾶες ἄγουσιν ἀπ' Αἰγύπτου μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

### 17. [B. 28 : Bl. 21.]

Οὐ βοῶν πάρεστι σώματ', οὔτε χρυσός,
οὔτε πορφύρεοι τάπητες,
ἀλλὰ θυμὸς εὐμενής,
Μοῦσά τε γλυκεῖα, καὶ Βοιωτίοισιν
ἐν σκύφοισιν οἶνος ἡδύς.

## ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

### 18. [B. 33 : Bl. 22.]

Ἔστα δ' ἐπὶ λάϊνον οὐδόν,
τοὶ δὲ θοίνας ἔντυον, ὧδε δ' ἔφα·
Αὐτόματοι δ' ἀγαθῶν
δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι
φῶτες.

19. [B. 34: Bl. 23.]

Οἱ μὲν ἀδμᾶτες ἀεικελιᾶν
νούσων εἰσὶν καὶ ἄνατοι,
οὐδὲν ἀνθρώποις ἴκελοι.

20. [B. 36: Bl. 24.]

Θνατοῖσι δ' οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος οὔτ' ἄγναμπτος Ἄρης οὔτε πάμφθερσις στάσις,
ἀλλ' ἐπιχρίμπτει νέφος ἄλλοτ' ἐπ' ἄλλαν
γαῖαν ἁ πάνδωρος αἶσα.

21. [B. 3: Bl. 25.]

Παύροισι δὲ θνατῶν τὸν ἅπαντα χρόνον δαίμων ἔδωκεν
πράσσοντας ἐν καιρῷ πολιοκρόταφον
γῆρας ἱκνεῖσθαι, πρὶν ἐγκύρσαι δύᾳ.

22. [B. 39: Bl. 30.]

Τὰν ἀχείμαντόν τε Μέμφιν
καὶ δονακώδεα Νεῖλον.

23. [B. 40: Bl. 31.]

Ἑκάτα δᾳδοφόρε, Νυκτὸς
μελανοκόλπου θύγατερ.

24. [B. 44: Bl. 34.]

Ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι
μυρίαι.

25. [B. 38: Bl. 29.]

Μελαγκευθὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου.

26. [B. 42: Bl. 32.]

Ἁβρότητι ξυνέασιν Ἴωνες βασιλῆες.

27. [B. 43: Bl. 33.]

Χρυσὸν βροτῶν γνώμαισι μανύει καθαρόν.

**28.** [B. 2, v. 3: Bl. 37.]

Ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

**29.** [B. 37: Bl. 27.]

Εἰ δὲ λέγει τις ἄλλως, πλατεῖα κέλευθος.

**30.** [B. 45: Bl. 35.]

πλήμμυριν πόντου φυγών.

**31.** [B. 51: Bl. 39.]

πυργοκέρατα.

**32** (?). [B. *adesp.* 86: Bl. 37 A.]

Οὐ γὰρ ἐν μέσοισι κεῖται
δῶρα δυσμάχητα Μοισᾶν
τὠπιτυχόντι φέρειν.

## ΕΠΙΓΡΑΜΜΑΤΑ.

1. **33.** [B. 48: Bl. p. 176.]

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
πρόφρων Καρθαίων ἱμερόεντα χορὸν
αἰὲν ἐποπτεύοις, πολέας δ' ἐν ἀθύρμασι Μουσᾶν
Κηΐῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους.

2. **34.** [B. 49: Bl. p. 176.]

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκεν
τῷ πάντων ἀνέμων πιστοτάτῳ Ζεφύρῳ.
εὐξαμένῳ γάρ οἱ ἦλθε βοηθόος, ὄφρα τάχιστα
λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

CAMBRIDGE: PRINTED BY JOHN CLAY, M.A. AT THE UNIVERSITY PRESS.

# Date Due

| | | | |
|---|---|---|---|
| MAY -7 '48 | 3580 | | |

BOSTON COLLEGE
3 9031 01222650 2

208192

208192

Author Bacchylides.

Title Bacchylides: the text ed.

Bacchylides

# Boston College Library

Chestnut Hill 67, Mass.

Books may be kept for two weeks unless a shorter time is specified.

Two cents a day is charged for each 2-week book kept overtime; 25 cents a day for each overnight book.

If you cannot find what you want, inquire at the delivery desk for assistance.

3-47